Ιουδαῖοι οἱ ἐν γῇ Μωαβ καὶ ἐν υἱοῖς Αμμων καὶ οἱ ἐν τῇ Ιδουμαίᾳ
καὶ οἱ ἐν πάσῃ τῇ γῇ ἤκουσαν ὅτι ἔδωκεν βασιλεὺς Βαβυλῶνος
κατάλειμμα τῷ Ιουδα καὶ ὅτι κατέστησεν ἐπ' αὐτοὺς τὸν Γοδολιαν
υἱὸν Αχικαμ, [12]καὶ ἦλθον πρὸς Γοδολιαν εἰς γῆν Ιουδα εἰς Μασ- 12
σηφα καὶ συνήγαγον οἶνον καὶ ὀπώραν πολλὴν σφόδρα καὶ ἔλαιον.
[13]Καὶ Ιωαναν υἱὸς Καρηε καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως 13
οἱ ἐν τοῖς ἀγροῖς ἦλθον πρὸς Γοδολιαν εἰς Μασσηφα [14]καὶ εἶπαν 14
αὐτῷ Εἰ γνώσει γινώσκεις ὅτι Βελισα βασιλεὺς υἱῶν Αμμων ἀπ-
έστειλεν πρὸς σὲ τὸν Ισμαηλ πατάξαι σου ψυχήν; καὶ οὐκ ἐπί-
στευσεν αὐτοῖς Γοδολιας. [15]καὶ Ιωαναν εἶπεν τῷ Γοδολια κρυφαίως 15
ἐν Μασσηφα Πορεύσομαι δὴ καὶ πατάξω τὸν Ισμαηλ καὶ μηθεὶς
γνώτω, μὴ πατάξῃ σου ψυχὴν καὶ διασπαρῇ πᾶς Ιουδα οἱ συν-
ηγμένοι πρὸς σὲ καὶ ἀπολοῦνται οἱ κατάλοιποι Ιουδα. [16]καὶ εἶπεν 16
Γοδολιας πρὸς Ιωαναν Μὴ ποιήσῃς τὸ πρᾶγμα τοῦτο, ὅτι ψευδῆ
σὺ λέγεις περὶ Ισμαηλ.
[1]Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν Ισμαηλ υἱὸς Ναθανιου 48
υἱοῦ Ελασα ἀπὸ γένους τοῦ βασιλέως καὶ δέκα ἄνδρες μετ' αὐτοῦ
πρὸς Γοδολιαν εἰς Μασσηφα, καὶ ἔφαγον ἐκεῖ ἄρτον ἅμα. [2]καὶ 2
ἀνέστη Ισμαηλ καὶ οἱ δέκα ἄνδρες, οἳ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπά-
ταξαν τὸν Γοδολιαν, ὃν κατέστησεν βασιλεὺς Βαβυλῶνος ἐπὶ τῆς
γῆς, [3]καὶ πάντας τοὺς Ιουδαίους τοὺς ὄντας μετ' αὐτοῦ ἐν Μασ- 3
σηφα καὶ πάντας τοὺς Χαλδαίους τοὺς εὑρεθέντας ἐκεῖ. — [4]καὶ 4
ἐγένετο τῇ ἡμέρᾳ τῇ δευτέρᾳ πατάξαντος αὐτοῦ τὸν Γοδολιαν, καὶ
ἄνθρωπος οὐκ ἔγνω, [5]καὶ ἤλθοσαν ἄνδρες ἀπὸ Συχεμ καὶ ἀπὸ 5
Σαλημ καὶ ἀπὸ Σαμαρείας, ὀγδοήκοντα ἄνδρες, ἐξυρημένοι πώγω-
νας καὶ διερρηγμένοι τὰ ἱμάτια καὶ κοπτόμενοι, καὶ μαναα καὶ
λίβανος ἐν χερσὶν αὐτῶν τοῦ εἰσενεγκεῖν εἰς οἶκον κυρίου. [6]καὶ 6
ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς Ισμαηλ· αὐτοὶ ἐπορεύοντο καὶ ἔ-
κλαιον, καὶ εἶπεν αὐτοῖς Εἰσέλθετε πρὸς Γοδολιαν. [7]καὶ ἐγένετο 7
εἰσελθόντων αὐτῶν εἰς τὸ μέσον τῆς πόλεως ἔσφαξεν αὐτοὺς εἰς
τὸ φρέαρ. [8]καὶ δέκα ἄνδρες εὑρέθησαν ἐκεῖ καὶ εἶπαν τῷ Ισμαηλ 8

11 οι 2⁰ > S | γη 1⁰ > B† = 𝔐 | εν 2⁰] pr. οι ASc | ιδουμαια] ιουδαια S*†: cf. Am. 1 9 | καταλ(ε)ιμμα] τα -ματα A† || 13 γοδολιαν] pr. τον B†: cf. 5 | 14 βελ(ε)ισα(S*† βενεσα) / βασ. υιων αμμων] tr. A† | αυτοις] -τω S† || 15 εν] εις A | πορευομαι S† | μη BS†] + ποτε rel. | διασπαρη πας ιουδα(BcSc -δας)] -ρησονται παντες οι ιουδαιοι ALC | οι paenult. > S*† || 16 περι] υπερ B Q*†, κατα A | ισμαηλ] pr. του A

48 (𝔐 41) 1 ελασα BA(†)] ελεσα S†, ελεασα Q. ελισαμα *L* | δεκα] pr. δω S†: item in 2 | γολιαν S*†: item in 2, cf. 45 1 | εκει αρτον] tr. S† || 2 βασιλευς] pr. ο A || 3 εν] εις A || 5 σαλημ] pr. ιερου *L*, σαλωμ A† | διερρηχοτες A | τα ιμ. και κοπτ. > S*† | μαναα *LC*] μαννα BSA: cf. 17 26 | χερσιν] χειρι S†, pr. ταις A | εις οικον] εν τω οικω S† || 6 ισμαηλ > S*† | αυτοι] pr. και A | αυτοις ult. > S || 7 το 1⁰ > S